δύσει, τῇ δὲ ἴσῃ πάλιν ἀναδύσει τὴν τριήμερον ἀνάστασιν, δι' ἣν καὶ ἡ ἀποκατάστασις ἡμῖν τοῦ παλαιωθέντος Ἀδάμ, καὶ ὁ ἀνακαινισμὸς συνεξεικονίζεται· ἐπεὶ καὶ αὐτὸ τὸ εἰς Χριστὸν βαπτίζεσθαι, καὶ τὸ εἰς τὸν θάνατον αὐτοῦ, καὶ εἰς ἓν σῶμα, καὶ εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ τὰ τοιαῦτα, τῷ μὲν σχήματι τῶν ὀνομάτων καὶ ῥημάτων οὐδὲν ἐπιδείκνυνται μέγα παραλλάττοντα, ἐν δὲ τῇ σημασίᾳ τοῦ νοήματος, καὶ διακρίσει, καὶ ἀπαγγελίᾳ τοῦ πράγματος, μεγίστην ὅσην τὴν διαφορὰν ἐμφανίζουσιν.

§. ί. Ὅτι μέν τοι τὸ ὄνομα καὶ τρόπον ἄλλον τὴν τοῦ κηρύγματος δύναμιν ἀπαγγέλλει, ὁ τοῦ Παύλου μυσταγωγὸς Ἀνανίας, ἡνίκα φόβῳ τοῦ παθεῖν 1), ἅπερ ἦν εἰκὸς ὑπονοεῖν τὸν Σαῦλον ποιεῖν, σαφῶς παριστᾷ· πρὸς γὰρ τὸν χρηματίζοντα αὐτῷ μυσταγωγῆσαι τὸν διώκοντα, «Κύριε, ἀκήκοα, φησίν, ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ»· εἶτα, «καὶ ὧδε ἔχει τὴν ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου»· καί τοι τῶν πιστῶν οὐκ ἦν ἔργον οὐδὲ σπούδασμα οὐδενὶ ψιλὸν τὸ τοῦ Χριστοῦ ὄνομα ἀναβοᾶν, οὐδὲ χωρὶς τῆς δογματικῆς ὀρθότητος καὶ τῆς πίστεως, ἣν ἐκεῖνος ἐμυσταγώγησε, τὴν κλῆσιν ἀπαγγελίαν διὰ τῶν χειλέων ποιεῖν· ἀλλά γε νῦν ἐπικαλουμένους ἐκείνους τὸ ὄνομα λέγει τοῦ Χριστοῦ, ὅσους ἡ εἰς αὐτὸν ἐκόσμει πίστις, καὶ τῆς κατ' αὐτὸν μυσταγωγίας ἐνῆν ὁρᾶν ἐραστάς, καὶ τῆς εὐσεβείας ἀγὼν 2) αὐτοῖς ἡ ἀκρίβεια. Τί δὲ τοῦτο ἄλλο ἦν, ἢ τὸ φρονεῖν καὶ κηρύττειν υἱὸν μὲν τοῦ Θεοῦ τὸν σωτῆρα εἶναι, καὶ τῷ πατρὶ ὁμοούσιον; «ἐγὼ γάρ, φησί, καὶ ὁ πατὴρ ἕν ἐσμεν 3)»· καὶ μὴν καὶ τὸ πανάγιον πνεῦμα, ὡς ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τῆς αὐτοῦ δόξης τε καὶ θεότητος οὐκ ἀλλοτριούμενον· τὸ γὰρ κατὰ φύσιν, μᾶλλον δὲ ὑπερφυεστάτῳ καὶ ἀφράστῳ λόγῳ τῆς πατρικῆς οὐσίας προϊόν, τοῦ προβαλλομένου τὴν δόξαν καὶ τὴν ἐξουσίαν καὶ τὴν δύναμιν ἐν ἑαυτῷ φέρειν οἶδε, καὶ τὸν χαρακτῆρα τῆς ὑπὲρ λόγον οὐσίας ἀπαραχάρακτον συντηρεῖν. Δῆλον δέ, ὅτι καὶ ὁ υἱὸς ἀπαύγασμα ὢν τοῦ πατρός, ἅπαντα φέρει ἐν ἑαυτῷ, ὅσα γεννῶν ὁ πατὴρ ταῖς ἀκτῖσι τῆς θεότητος, τὴν μορφὴν ὡράϊζε τοῦ γεννήματος, καὶ τὸ συγγενὲς ἀνεκήρυττε· τῇ τοιαύτῃ τοίνυν θεολόγῳ μυσταγωγίᾳ τῶν πιστευόντων ἐτελεῖτο τὰ πλήθη, καὶ δικαίως ἂν λέγοιντο τὸ ὄνομα τοῦ σωτῆρος ἐπικαλεῖσθαι, διότι τοῦ δόγματος, οὗ διδάσκαλος ἐχρημάτιζεν, αὐτοὶ διέσωζον τὴν ὀρθότητα.

§. ιά. Οὐδὲν δὲ ἧττον προϊὼν ὁ λόγος καὶ δι' ἑτέρων παραστήσει τῆς τοιαύτης δόξης τὸ ἀκόλουθον· λέγει γὰρ ὁ χρηματίζων, τῆς πολλῆς ἀγωνίας καὶ τοῦ δέους ἀνακαλούμενος τὸν μυσταγωγὸν τοῦ Παύλου, ὅτι περ ὃν τέθηπας καὶ δέδοικας, ὡς πολέμιον τοῦ σωτηρίου κηρύγματος, «οὗτός μοι σκεῦός ἐστιν ἐκλογῆς,» εἶτα, «τοῦ βαστάσαι 4) τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων υἱῶν τε Ἰσραήλ,» ἀντὶ τοῦ, οὐ μόνον αὐτὸς τῶν ἐχθρῶν τῆς φάλαγγος ἀπεπήδησεν, ἀλλὰ καὶ πρόμαχος 5) καὶ προασπιστὴς τῆς πολεμουμένης εὐσεβείας ἀναδειχθήσεται· καὶ γὰρ ὑπὸ τῶν δυσσεβούντων πολιορκούμενόν τε καὶ κατασειόμενον, αὐτὸς ἀναβαστάσει, καὶ ὑποστηρίξει, καὶ ἀκράδαντον παραστήσει τὸ θεοσεβὲς κήρυγμα· τοῦτο γὰρ ἐνταῦθα ἡ τοῦ ὀνόματος ἀπαγγέλλει δύναμις, τὴν ἀληθινὴν πίστιν, τὸ τῆς εὐσεβείας φρόνημα, τῆς θεολογίας τὸ κήρυγμα, τῆς τοῦ λόγου σαρκώσεως τὸ μυστήριον· ἐπεὶ τί χαλεπὸν ἦν, τίνων δὲ στηριγμάτων δεόμενον, ἁπλῶς οὕτως καὶ μιᾷ φωνῇ προσαγορεύειν τὸν Κύριον, καὶ αὐτῶν ἐνίοτε τῶν δαιμονίων ἀναβοωμένων, καὶ μετὰ προσθήκης τινὸς τὸ δεσποτικὸν ὄνομα 6); Ἀλλὰ δῆλον, ὡς νῦν ὄνομα τὸ διὰ Παύλου καταγγελλόμενον κήρυγμα λέγει, καὶ τὸ πρὸς Θεὸν ἀναφερόμενον σέβας, ὑπὲρ οὗ μυρίους καθ' ἑκάστην θανάτους ὁ πρὶν διώκτης ἡδέως ἔφερε, διδάσκων, παραινῶν, μυσταγωγῶν, κηρύττων τὴν πίστιν, καθ' ἣν αὐτῷ μυσταγωγίαν ὁ σωτὴρ ἀπεκάλυψεν· «ἐγὼ γάρ, φησίν, ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν 7)».

§. ιβ'. Καὶ ὅρα, συνεχὴς ἡ χρῆσις τοῦ ὀνόματος· διατί; ἵνα ἡ ἐπιμονὴ τῆς φωνῆς τὸ αὐτὸ πρᾶγμα πολλάκις σημαίνουσά τε καὶ κατάδηλον ποιουμένη, ὥσπερ διὰ τῆς ἀκοῆς ἐντυπώσει τοῖς λογισμοῖς τὸ τῆς εὐσεβείας μυστήριον, καὶ οἷα βασιλικὸν ἐκσφράγισμα ταῖς διανοίαις τοῦτο φέροντες, καὶ πρὸς αὐτὸ ἀφορῶντες, μὴ πρὸς πολλὰς ἴημεν ὁδούς, διαφόροις φωναῖς σχηματιζομέναις ἐκτρεπόμενοι· ὑπὲρ τοῦ μυστηρίου τούτου, καὶ τῆς περὶ τὴν πίστιν ἀκριβείας ὁ Παῦλος ἔπασχε τὰ ἀνήκεστα· οὐ γὰρ περὶ ὀνόματος ψιλοῦ, οὐδὲ συλλαβῶν βραχείᾳ συνθέσει τὸ φρικτὸν καὶ μέγα τῆς πίστεως περιγράφοντος. Διὸ καὶ ἀκούειν ἐστὶ τῶν ἱερῶν πάλιν ἐκδιδασκόντων ῥημάτων, «οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τὸ ὄνομα τοῦτο;» πῶς γὰρ ἐπορθεῖτο λέξις, πληγῇ ἀέρος βραχείᾳ περιγραφομένη, καὶ πρὸς μηδένα νοῦν, τό γε ἐπ' αὐτῇ, μηδὲ δόξαν θεολόγων ἀναπλουμένη, μηδ' ἀνθρώπων ψυχαῖς ἐνιέναι δογμάτων ἀκρίβειαν δυναμένη, καὶ τὴν ὕπαρξιν χρονιωτέραν 8) οὐκ ἔχουσα τῆς γενέσεως; Ἀλλὰ γὰρ δῆλον, ὡς νῦν ὄνομα οὐ τὸ 9) σύνηθες καὶ πᾶσι περιφερόμενον ἐννοεῖν δεῖ, ἀλλὰ τὸ τῆς εὐσεβείας ὅλης ἀπαγγέλλον τε καὶ διασημαῖνον τὸ μυστήριον, καὶ τὴν τοῦ κηρύγματος διὰ πάσης ἡμῶν τῆς θεολογίας προϊοῦσαν ἀκρίβειαν· καὶ γὰρ τὸ τοιοῦτον ὄνομα, ἤτοι τῆς πίστεως ἡ τε-

1) Οὕτω καὶ ΒΜ ἀλλ' ἴσ. γρ. «ἡνίκα ἐφοβεῖτο παθεῖν», (ἵνα τὸ ἡνίκα πρὸς τὸ οἰκεῖον ῥῆμα ἀποδοθῇ). – 2) ΒΜ. τὸ δὲ ΑΡ. ἀγῶνα. – 3) Ἰωάν. ι, 30. – 4) Τὸ ΒΜ. εἰς τὸ βαστ. – 5) Τὸ πρόμαχος λείπει ἐκ τοῦ ΒΜ. – 6) Ματθ. η, 29. Μάρκ. έ, 7. – 7) Πράξ θ'. 16. – 8) Χρονιωτέραν ΒΜ. – 9) ΒΜ. τὸ δὲ ΑΡ. αὐτό.

λείωσις, καὶ ταῖς διανοίαις ἡμῶν ἐμβαθύνεται, καὶ θεμέλιον λαμβάνει, ἑδραζόμενον τῇ τῶν πιστευόντων φιλοθέῳ γνώμῃ καὶ τῇ στερρότητι τοῦ φρονήματος. Τοῦτο τὸ ὄνομα ὁ πρὶν μὲν Σαῦλος ἐπολιόρκει, ὁ δὲ μετὰ ταῦτα Παῦλος ἐνώπιον ἐθνῶν καὶ βασιλέων ἐβάσταζεν, ἀπερίτρεπτον τοῦτο καὶ ἀκαταγώνιστον ἰδίοις ἐπιδεικνὺς 1) ἀγωνίσμασι, καὶ πολλὰ τῶν ἐθνῶν ἀπὸ τῆς δυσσεβείας εἰς ταύτην μεθαρμόσας καὶ μυσταγωγήσας τὴν εὐσέβειαν· δεῖ τοίνυν, ἐπειδὰν τὰ λόγια λέγῃ, ὡς «ἐβάπτιζον οἱ μαθηταὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ,» ἢ κατ' ἄλλην τινὰ συνθήκην παραπλησίου λόγου, συμφερομένην τῷ προκειμένῳ τῆς ἐκφωνήσεως τύπῳ, ἀκολούθως τε καὶ θεοπρεπῶς ἐννοεῖν, καὶ τῶν μαθητῶν μηδὲν ἀνάξιον ὑπονοεῖν, ἀλλὰ κατὰ τὸ κήρυγμα τοῦ σωτῆρος καὶ τὴν διδασκαλίαν ἀνομολογεῖν 2) τοὺς Ἀποστόλους τελεσιουργεῖν τὴν ἀναγέννησιν, καὶ τοὺς ἄλλους πράττειν ὁμοίως μυσταγωγοῦντας, μηδὲν ἔξωθεν τῆς δεσποτικῆς ἐντολῆς μήτε ἐννοοῦντας, μήτε λέγοντας, μήτε πράττοντας.

§. ιγ'. Ἀλλὰ γὰρ ἴσως ἄν τισιν ἐπέλθοι λογεθετεῖν, ἵνα μὴ λέγω φιλονεικεῖν, ὡς εἴπερ 3) εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἐβάπτιζον οἱ μαθηταί, τί δήποτε εἰς τὸ ὄνομα τοῦ Χριστοῦ λέγονται βαπτίζειν, ἢ εἰς τὰ ὅμοια; καὶ γὰρ τοῦτο μὲν διὰ τῶν εἰρημένων ἤδη ἀποχρώντως ἐπιδέδεικται 4)· ἤρκει γὰρ ἀντὶ πολλῶν ἄλλων τὴν αἰτίαν ταύτην εἰς τὸ τῆς ἱερᾶς ἡμῶν γραφῆς ἔθος ἀνάγειν, καὶ παραστῆσαι ταύτην οἰκειούμενον, μηδὲ μᾶλλον τοῦ συμφιλοσοφεῖν 5) τὸ πολυπραγμονεῖν ἀνταλλάττεσθαι· καὶ γὰρ ἄλλα τε πολλὰ καθ' ἕκαστον εἶδος λόγου, δι' ὧν χαρακτηρίζεται, καθορᾶται ἰδιώματα, καὶ οὐδεὶς ἐπιγνοὺς τὸ ἰδίωμα, πρὸς ἑτέραν ἀποπλανᾶσθαι τὸν νοῦν ἀφίησι ζήτησιν· καὶ τοῦτο οὐ μόνον ἐπὶ τῶν θεοσόφων λόγων ἐστὶν ἀναθεωρεῖν, ἀλλὰ καὶ ἃ κοσμεῖν φιλοτιμεῖται γλῶσσα ἡ ἀττικίζουσα. Πλὴν οὐδὲν κωλύει καὶ τὸ ἰδίωμα πλατύτερον ἐκδιδάσκειν 6), καί τοι γε οὐδὲ τοῦτο παρεῖδεν ἔμπροσθεν ὁ λόγος, ὅτι μὴ ἐστέρηται τοῦ αἰτιολογεῖσθαι. Καὶ γὰρ εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ 7), καὶ εἰς τὰ παραπλήσια, ὧν ἐν τῷ διαφόρῳ τῶν φωνῶν ἀδιάφορος ἡ διάνοια καὶ μία, δικαίως ἂν ἀναφέροιτο ἡ παρ' αὐτοῦ μυσταγωγηθεῖσα τοῖς μαθηταῖς, καὶ διὰ τῶν μαθητῶν τῷ κόσμῳ πίστις, τοῦ ὀνόματος τοῦτο παραδηλοῦντος· διότι αὐτὸς ἀρχηγὸς κατέστη τῆς εἰς τὸ θεῖον εὐσεβείας, καὶ διότι ἐν τῇ τοῦ Ἰησοῦ καὶ Κυρίου μνήμῃ διδασκόμεθα συγκεφαλαιοῦσθαι καὶ συνεμφανίζεσθαι τὸ μυστήριον ὅλον τῆς τοῦ Λόγου δι' ἡμᾶς οἰκονομίας· ἀναπλοῦσθαί τε δύναται τῶν εὐσεβούντων ἕκαστος, καὶ ἀπευθύνεσθαι δι' αὐτοῦ πρὸς τὸ τέλειον τῆς θεογνωσίας, οὐ τῇ βραχύτητι τῆς λέξεως συναποθλίβων καὶ συστενοχωρῶν τὸν νοῦν τῶν δογμάτων, (τοῦτο γὰρ ἂν εἴη ψιλὴν τὴν φωνὴν προφέρειν,) ἀλλ' ἐμπλατυνόμενος καὶ καταρτιζόμενος τῇ πίστει καὶ τῇ τελειότητι τῆς εὐσεβείας. Εἰ βούλει δέ, ἀχώριστός ἐστι καὶ ἀδιάστατος ὁ υἱὸς τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, ὡς τῆς αὐτῆς ὑπερουσίου οὐσίας καὶ δυνάμεως καὶ ἐξουσίας ὑπάρχων· ὤφθη δὲ καὶ ἐψηλαφήθη σάρκα τὴν ἡμετέραν ἀναλαβὼν ὁ υἱός, καὶ γέγονεν ἡμῖν ὄμμασί τε ληπτός, ἀφῇ τε ψηλαφητός· «ὃ γὰρ ἐθεασάμεθα, φησί, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη 8)»· ἐξ ἑνὸς οὖν, τοῦ μᾶλλον ἡμῖν διὰ φιλανθρωπίας ἄφατον πέλαγος ἐν γνώσει καθεστῶτος, καὶ τὰ ὑπὲρ λόγον μυσταγωγήσαντος, τῆς 9) ὁμοουσίου καὶ παντοκρατορικῆς τριάδος τὸ ὑπερούσιόν τε καὶ ἑνιαῖον ἐλλαμφθέντες, πρός τε τὴν ἄλλην τοῦ μυστηρίου θεωρίαν δι' αὐτοῦ χειραγωγηθέντες, εἰκότως ἄρα καὶ ἐπειδάν τινα πράττωμεν, κατὰ τὸ παραδεδομένον δόγμα τελειοῦντες, εἰς τὸν παραδεδωκότα ταῦτα δικαιοῦμεν ἀναφέρεσθαι.

§. ιδ'. Ὅπως μέν τοι γε καὶ ὁ Παῦλος κατήγγελλε τὸ ὄνομα τοῦ Ἰησοῦ, καὶ κατὰ ποῖον σημαινόμενον τοῦ ὀνόματος, κἀντεῦθεν δῆλον· μᾶλλον δέ, τῶν ἐκείνου λόγων ἡ χάρις ὧν ἥψατο τῆς καρδίας ἄδηλον οὐδενί 10)· νῦν μὲν γὰρ τὸ φρικτὸν καὶ φιλάνθρωπον τῆς σαρκώσεως καὶ μυσταγωγῶν καὶ κηρύττων ἐδείκνυτο, νῦν δὲ θεολογῶν τὴν τριάδα ἐπαῤῥησιάζετο, συναναkηρύττων καὶ τὴν ἄλλην τοῦ μυστηρίου δύναμιν καὶ 11) θειότητα· ἀλλὰ γὰρ οὐδέν ἐστιν, οἷον αὐτοῦ ἀκούειν, «Ὅς, ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, (δηλονότι τοῦ πατρὸς ὁ υἱὸς) οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ» 12)· οὐδὲ γὰρ ἔσχε τὸν κλῆρον τῆς θεότητος ἐκ διαδοχῆς, οὐδὲ ἐπιθέμενος καὶ ἁρπάσας ἐξ ἑτέρου, περιέθετο τὸ κράτος ἑαυτῷ, ἀλλ' ἀπ' ἀρχῆς, ὡς τῆς αὐτῆς ὢν οὐσίας καὶ φύσεως, καὶ μηδεμίαν ταύτης ἀφαίρεσιν μηδαμῶς ὑποστῆναι πεφυκώς· διὰ τοῦτο μηδὲν ὅλως δυσχερὲς ὑφορώμενος, «Ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου λαβὼν 13)»· καὶ πάλιν, «Εἷς Κύριος καὶ Πατὴρ 14), ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα»· οὕτω δὴ οὕτω καὶ τὴν τοῦ Λόγου οἰκονομίαν ἀνεκήρυττε, καὶ τὴν τῆς τριάδος θεολογίαν ἐκράτυνεν, ἔκ τε τοῦ μὴ ἀφελεῖν τὸ ἑνιαῖον ἀπὸ μηδεμιᾶς τῶν τριῶν ὑπο-

1) Ἐπιδεικνύμενος ΒΜ – 2) Ὁμολογεῖν ΒΜ. – 3) Εἴγε ΒΜ. – 4) Ἐπιδείκνυται ΒΜ. – 5) Φιλοσοφεῖν ΒΜ. – 6) Συνεκδιδάσκειν ΒΜ. – 7) Τὰ «καὶ εἰς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ» λείπουσιν ἐκ τοῦ ΒΜ. – 8) Α. Ἰωάν. α. 1. – 9) Τοῦ ΒΜ. — 10) Τουτέστιν «ἄδηλον οὐδενὶ τῶν, ὧν τῆς καρδίας ἥψατο ἡ χάρις τῶν ἐκείνου λόγων. — 11) Λείπει ὁ καὶ ἐκ τοῦ ΒΜ. – 12) Ἑβρ. α, 3. Φιλιππ. β, 6. – 13) Φιλιππ. 6, 7. — 14) Α. Κορινθ. η, 6. Ἐν ταῖς κοιναῖς ἐκδόσεσιν «Εἷς Θεὸς ὁ Πατήρ.»